www.tezaurliturgic.ro

ΔΡΟΣ ΧΑΡΑΛΑΜΠΟΥΣ ΜΠΟΥΣΙΑ



# ΑΚΟΛΟΥΘΙΑ
# ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ
# ΕΥΒΟΥΛΗΣ
## ΜΗΤΡΟΣ ΑΓ. ΠΑΝΤΕΛΕΗΜΟΝΟΣ

Ἔκδοσις Ἱ. Μετ. Ἁγ. Παντελεήμονος Πεντέλης

Ἀθήνα 2010

www.tezaurliturgic.ro

Δρος Χαραλάμπους Μπούσια

# ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ ΕΥΒΟΥΛΗΣ

Μητρὸς τοῦ Ἐνδόξου
ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΠΑΝΤΕΛΕΗΜΟΝΟΣ

Ἐγκριθεῖσα ὑπὸ τῆς Ἱ. Συνόδου
τῆς Ἐκκλησίας τῆς Ἑλλάδος

Ἡ μνήμη αὐτῆς τελεῖται τῇ 30ῇ Μαρτίου

Ἔκδοσις Ἱ. Μετοχίου Ἁγ. Παντελεήμονος
Κοκκιναρᾶ Πεντέλης
Ἱ. Μονῆς Ἀσωμάτων Πετράκη

ΑΘΗΝΑΙ 2010

www.tezaurliturgic.ro

ΙΕΡΑ ΑΡΧΙΕΠΙΣΚΟΠΗ ΑΘΗΝΩΝ
ΙΕΡΑ ΜΟΝΗ ΑΣΩΜΑΤΩΝ ΠΕΤΡΑΚΗ

Ἀριθμ. Πρωτ. 478

Ἐν Ἀθήναις τῇ 6η Ὀκτωβρίου 2010

Πρός τον
Παν/τον Ἀρχιμανδρίτην
π. Ὀνούφριον Κωστόπουλον
Μετοχιάρην Ἱεροῦ Μετοχίου
Ἅγιος Παντελεήμων
"Κοκκιναρᾶ"

Πανοσιολογιώτατε

Μονιμος προσδοκία τῶν πιστῶν εἶναι ἡ κατά Θεόν προκοπή τῶν Μοναχῶν καί ἡ ἐκπλήρωσις της αποστολής τους. Μέ τήν εὐλογία τοῦ Κυρίου μας, διαπιστώνουμε τήν πνευματική πρόοδο τῶν Πατέρων τοῦ Μετοχίου μας, ἐν Πεντέλη Ἁγίου Παντελεήμονος, ὄχι μόνον εἰς τήν ἀριθμητικήν των αὔξησιν (νέων μορφωμένων ἀνθρώπων), ἀλλά καί τον ἔνθερμον ζῆλον, τήν κατ' ἐπίγνωσιν ἀφιέρωσίν των καί ἐνάσκησιν τῶν θείων ἐντολῶν ὑπό τήν πνευματικήν καθοδήγησίν σας.

Η παροῦσα ἔκδοσις τῆς ασματικῆς Ἀκολουθίας τῆς Ὁσίας Εὐβούλης, μητρός τοῦ Ἁγίου μεγαλομάρτυρος Παντελεήμονος τοῦ ἰαματικοῦ, ἀποτελεῖ μίαν ἀπόδειξιν τῆς πνευματικῆς ἀγωνίας καί τῆς ἱεραποστολικῆς ἀποστολῆς σας ὄχι μόνον πρός τούς ἀδελφούς ἀλλά καί πρός τούς εὐσεβεῖς πολυαρίθμους προσκυνητάς τοῦ Ἱεροῦ Μετοχίου μας.

Ἐκ μέσης ψυχῆς σᾶς συγχαίρομεν δια τήν ποιμαντικήν μέριμναν διά τῆς παρούσης ἐκδόσεως, εὐχόμενοι πλουσίαν τήν παρά Κυρίου εὐλογίαν διά πρεσβειῶν τῆς Ὁσίας Μητρός Εὐβούλης.

Μετ' εὐχῶν κ' ἀγάπης

Διά τό Ἡγουμενοσυμβούλιον
Ὁ Καθηγούμενος

Ἀρχιμ. Ἰάκωβος

Ἀρχιμ. Ἰάκωβος Μπιζαούρτης

ΙΕΡΑ ΑΡΧΙΕΠΙΣΚΟΠΗ ΑΘΗΝΩΝ
ΙΕΡΑ ΜΟΝΗ ΑΣΩΜΑΤΩΝ ΠΕΤΡΑΚΗ

Κυριακή 26.9.2010
Μετάστασις τοῦ Ἁγίου Ἐνδόξου
Ἀποστόλου καί Εὐαγγελιστοῦ
Ἰωάννου τοῦ Θεολόγου

www.tezaurliturgic.ro

## Ἐν τῷ Μικρῷ Ἑσπερινῷ

Μετὰ τὸν Προοιμιακὸν εἰς τὸ «Κύριε ἐκέκραξα» ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος α΄. Πανεύφημοι μάρτυρες.

Εὐβούλη σεμνή, τὴν ἀρετὴν, οὐρανίῳ ἔρωτι, ὁλοσχερῶς ἀγαπήσασα, ἐκ βρέφους ἤνυσας, ἐν Νικομηδείᾳ, βιοτὴν θεάρεστον, καὶ πίστιν ἀποῤῥίψασα ἄνομον, τοῦ εἰδωλόφρονος, Εὐστοργίου, τοῦ συζύγου σου, τὸν ἀγῶνα, καλῶς ἐπεράτωσας.

Εὐβούλη, τῆς πίστεως λαμπάς, παμφαής, ἐφώτισας, τῆς τοῦ Χριστοῦ ἀγαπήσεως, ἀκτῖσι πέρατα, κτίσεως καὶ τούτου, τὰ σεπτὰ ἐντάλματα, τηρήσασα καλῶς διεσκόρπισας, δεινὴν σκοτόμαιναν, ἀσεβείας τοῦ συζύγου σου· ὅθεν πάντες, τὴν μνήμην σου σέβομεν.

Εὐβούλη, χαρίτων θεϊκῶν, διαυγὲς κυάθιον, ἐν ἀληθεῖ πεπολίτευσαι, ὄντως χρηστότητι, καὶ κατηξιώθης, οὐρανίου, πάγκαλε, ἐλλάμψεως καὶ δόξης τῆς κρείττονος· ὅθεν τιμῶντές σε, κατ᾽ ἀξίαν ἱκετεύομεν· μὴ παρίδῃς, ἡμῶν τὰ αἰτήματα.

Εὐβούλη, τὸ τέκνον σου σοφῶς, διεπαιδαγώγησας, διδάσκουσα αὐτῷ πολιτεύεσθαι, κατὰ τὸ θέλημα,

www.tezaurliturgic.ro

τοῦ Θεοῦ καὶ στρέφειν, τῆς καρδίας ὄμματα, αὐτοῦ ἀεὶ πρὸς μόνα τὰ ἄρρευστα, καὶ διαμένοντα· ὡς σπορέα ὅθεν πίστεως, τῆς ἀμώμου, Χριστοῦ σε γεραίρομεν.

Δόξα. Ἦχος πλ. δ΄.

Σκεῦος εὔχρηστον παντοδαπῶν ἀρετῶν χρηματίσασα, παρὰ Κυρίου ἀξιοχρέως ἐδοξάσθης, Εὐβούλη πανεύφημε· ἐν εὐσεβείᾳ γὰρ καὶ ἀρετῇ διαθρέψασα, τὸ τέκνον σου Παντελεήμονα, ἀτραποὺς αὐτῷ χρηστότητος ὑπέδειξας· ἀξιωθεῖσα οὖν ὑποδέξασθαι, αὐτὸν ἐν πόλῳ ὡς ἀθλοφόρον, μὴ παύσῃ σὺν αὐτῷ πρεσβεύουσα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα, πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Εἰς τὸν Στίχον. Στιχηρὰ Προσόμοια.

Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Χαῖρε, τῆς ἀρετῆς, κατάκαρπος ἐλαία, Εὐβούλη, καὶ ἀγάπης, Χριστοῦ τοῦ Ζωοδότου, εὐθυτενὴς κυπάρισσος.

Στίχος. Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

www.tezaurliturgic.ro

Γάλακτι ἱερῷ, τῆς πίστεως, Εὐβούλη, διέθρεψας σὸν τόκον, τὸν ἀθλητὴν Κυρίου, κλεινὸν Παντελεήμονα.

Στίχος. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατηύθυνε τὰ διαβήματά μου.

Ἔθραυσας ἀληθῶς, τῆς ἀσεβείας τεῖχος, τῇ χάριτι, Εὐβούλη, Χριστοῦ καὶ εὐσεβείας, τὸ κράτος ἐμεγάλυνας.

Δόξα. Τριαδικόν.

Χαῖρε, Τριὰς σεπτή, εὐψύχων ἀθλοφόρων, ἀγλάϊσμα τὸ θεῖον, καὶ εὐλαβῶν μητέρων, χαρὰ ἡ ἀνεκλάλητος.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα, ἀγαθή, ὑπερευλογημένη, πρεσβείαις τῆς Εὐβούλης, τῇ νεολαίᾳ δεῖξον, ὁδοὺς τῆς ἀγαθότητος.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro

## Ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ

Μετὰ τὸν Προοιμιακὸν τὸ «Μακάριος ἀνὴρ», εἰς δὲ τὸ «Κύριε ἐκέκραξα» ἱστῶμεν στίχους στ´ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος α´. Τῶν οὐρανίων ταγμάτων.

Νικομηδείας τὸν γόνον, τὸν εὐθαλέστατον, Εὐβούλην τὴν ἁγίαν, ἀθλοφόρου μητέρα, νοσούντων ἀνιάτων τοῦ ἰατροῦ, θείου Παντελεήμονος, ἐγκωμιάζοντες ὕμνοις χρεωστικῶς, καταστέψωμεν εὐσχήμοσιν.

Τῶν χριστωνύμων χορεῖαι, δεῦτε τιμήσωμεν, καὶ μελιῤῥύτοις ὕμνοις, καταστέψωμεν πόθῳ, Εὐβούλην τὴν θεόπνουν καὶ φωταυγῆ, ὡς μητέρα καλλίτεκνον· ἀμνὰς γὰρ ὤφθη Κυρίου πανευκλεής, καὶ τροφὸς ἁγία μάρτυρος.

Πνευματοφόρον Εὐβούλην, πάντες τιμήσωμεν· ὡς εὐλαβὴς γὰρ ῥίζα, εὐωδέστατον ἄνθος, ἐξήνθησε τῷ κόσμῳ τὸν ἀθλητήν, θεῖον Παντελεήμονα, ἐν ταῖς ψυχαῖς διαπνέοντα εὐσεβῶν, εὐωδίαν θείας χάριτος.

Ἡ Βιθυνία καυχᾶται, τῇ σῇ λαμπρότητι, καὶ τοῦ Χριστοῦ ἡ θεία, Ἐκκλησία σῷ τέκνῳ, Εὐβούλη, ἐν σταδίῳ τῷ κραταιῷ, ὄντως Παντελεήμονι, τῷ θείᾳ χάριτι νόσων παντοδαπῶν, ἐποφθέντι ὀλετήριον.

Συζυγικήν σου, Εὐβούλη, κλίνην ἀμίαντον, τηρήσασα ἐμφρόνως, καὶ συζύγου σου πλάνην, μὴ στέρξασα

www.tezaurliturgic.ro

ἐδείχθης τῆς ἀληθοῦς, τοῦ Χριστοῦ ἡμῶν πίστεως, κανὼν καὶ σύνοικος, πάντιμε, ἀρετῶν, θεαρέστων καὶ σεμνότητος.

Παιδαγωγὸς ὡς ἀρίστη, ὑπὸ τοῦ Πνεύματος, ἐμφορουμένη Μῆτερ, τοῦ ἁγίου, Εὐβούλη, τὸν σπόρον τῆς ἀγάπης τοῦ Λυτρωτοῦ, καὶ Παντάνακτος ἔσπειρας, ἐν τῇ καρδίᾳ τοῦ τέκνου σου τοῦ σεπτοῦ, θαυμαστοῦ Παντελεήμονος.

Δόξα. Ἦχος πλ. α΄.

Ἐξέλαμψε σήμερον ὡς ἀστὴρ ἐαρινός, τῆς ἀοιδίμου ἀθλητομήτορος μνήμη, καταλάμπουσα πάντας ἀκραιφνοῦς πίστεως, καὶ ἀγωγῆς ἐνθέου τοῖς πυρσεύμασιν· αὕτη γὰρ σοφίας ἐνθέου πεπλησμένη, παιδαγωγὸς ἀρίστη ἀνεδείχθη, τοῦ μονογενοῦς αὐτῆς υἱοῦ Παντελεήμονος, καὶ ὑποφῆτις πρὸς ἐνθέους ἀναβάσεις· καὶ νῦν τῷ ἀκροτάτῳ τῶν ἐφετῶν, Κυρίῳ Ἰησοῦ παρεστῶσα, πρεσβεύει ἀπαύστως σὺν τῷ αὐτῆς τέκνῳ, ὑπὲρ τῶν πίστει τελούντων ἐν ᾄσμασιν αὐτῆς τὴν πανήγυριν.

Καὶ νῦν. Θεοτοκίον.

Ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ τῆς ἀπειρογάμου νύμφης...

Εἴσοδος. Φῶς ἱλαρόν. Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

www.tezaurliturgic.ro

Παροιμιῶν τὸ Ἀνάγνωσμα.
(Κεφ. λα΄ 10-31)

Γυναῖκα ἀνδρείαν τὶς εὑρήσει; Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Θάρσει ἐπ᾽ αὐτῇ ἡ καρδία τοῦ ἀνδρὸς αὐτῆς, ἡ τοιαύτη καλῶν σκύλων οὐκ ἀπορήσει. Ἐνεργεῖ γὰρ τῷ ἀνδρὶ ἀγαθὰ πάντα βίον. Μηρυομένη ἔρια καὶ λίνον, ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ αὐτῆς τὸν πλοῦτον. Καὶ ἀνίσταται ἐκ νεκρῶν καὶ ἔδωκε βρώματα τῷ οἴκῳ καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιος ἐπρίατο, ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. Ἐγεύσατο ὅτι καλόν ἐστι τὸ ἐργάζεσθαι καὶ οὐκ ἀποσβέννυται ὅλην τὴν νύκτα ὁ λύχνος αὐτῆς. Τοὺς πήχεις αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, τὰς δὲ χεῖρας αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Χεῖρας δὲ αὐτῆς διήνηξε πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ. Οὐ φροντίζει τῶν ἐν οἴκῳ ὁ ἀνὴρ αὐτῆς, ὅταν που χρονίζῃ· πάντες γὰρ οἱ παρ᾽ αὐτῆς ἐνδεδυμένοι εἰσί. Δισσὰς χλαίνας ἐποίησε τῷ ἀνδρὶ αὐτῆς, ἐκ δὲ βύσσου καὶ πορφύρας ἑαυτῇ ἐνδύματα. Περίβλεπτος δὲ γίνεται ὁ ἀνὴρ αὐτῆς ἐν πύλαις, ἡνίκα ἂν καθίσῃ ἐν συνεδρίῳ μετὰ τῶν γερόντων κατοίκων τῆς γῆς. Σινδόνας ἐποίησε καὶ ἀπέδοτο τοῖς Φοίνιξι, περιζώματα δὲ τοῖς Χαναναίοις. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις. Στόμα αὐτῆς διήνηξε προσεχόντως καὶ ἐννόμως καὶ τάξιν τὰ δὲ ὀκνηρὰ οὐκ ἔφαγε. Τὸ στόμα δὲ ἀνοίγει σοφῶς καὶ νομοθέσμως, ἡ δὲ ἐλεη-

www.tezaurliturgic.ro

μοσύνη αὐτῆς ἀνέστησε τὰ τέκνα αὐτῆς καὶ ἐπλούτησαν καὶ ὁ ἀνὴρ αὐτῆς ᾔνεσεν αὐτήν. Πολλαὶ θυγατέρες ἐκτήσαντο πλοῦτον, πολλαὶ ἐποίησαν δύναμιν, σὺ δὲ ὑπέρκεισαι καὶ ὑπερῇρας πάσας. Ψευδεῖς ἀρέσκειαι καὶ μάταιον κάλλος γυναικός· γυνὴ γὰρ συνετὴ εὐλογεῖται, φόβον δὲ Κυρίου αὕτη αἰνείτω. Δότε αὐτῇ ἀπὸ καρπῶν χειλέων αὐτῆς καὶ αἰνείσθω ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς.

Παροιμιῶν τὸ Ἀνάγνωσμα
(Κεφ. θ´ 10-18).

Ἀρχὴ σοφίας φόβος Κυρίου καὶ βουλὴ ἁγίων σύνεσις, τὸ δὲ γνῶναι νόμον διανοίας ἐστὶν ἀγαθῆς· τούτῳ γὰρ τῷ τρόπῳ πολὺν ζήσεις χρόνον καὶ προστεθήσεταί σοι ἔτη ζωῆς σου. Υἱέ, ἐὰν σοφὸς γένῃ σεαυτῷ, σοφὸς ἔσῃ καὶ τοῖς πλησίον· ἐὰν δὲ κακὸς ἀποβῇς, μόνος ἂν ἀντλήσεις κακά. Ὃς ἐρείδεται ἐπὶ ψεύδεσιν, οὗτος ποιμαίνει ἀνέμους, ὁ δ᾽ αὐτὸς διώξεται ὄρνεα πετόμενα· ἀπέλιπε γὰρ ὁδοὺς τοῦ ἑαυτοῦ ἀμπελῶνος, τοὺς δ᾽ ἄξονας τοῦ ἰδίου γεωργίου πεπλάνηται· διαπορεύεται δὲ δι᾽ ἀνύδρου ἐρήμου καὶ γῆν διατεταγμένην ἐν διψώδεσι, συνάγει δὲ χερσὶν ἀκαρπίαν. Γυνὴ ἄφρων καὶ θρασεῖα ἐνδεὴς ψωμοῦ γίνεται, ἣ οὐκ ἐπίσταται αἰσχύνην. Ἐκάθισεν ἐπὶ θύραις τοῦ ἑαυτῆς οἴκου, ἐπὶ δίφρου ἐμφανῶς ἐν πλατείαις, προσκαλουμένη τοὺς παριόντας καὶ κατευθύνοντας ἐν ταῖς ὁδοῖς αὐτῶν· ὅς ἐστιν ὑμῶν ἀφρονέστατος, ἐκκλινάτω πρός με καὶ τοῖς ἐνδεέσι φρονήσεως παρακελεύομαι λέγουσα· ἄρτων κρυφίων ἡδέως ἅψασθε καὶ ὕδατος κλοπῆς γλυκεροῦ. Ὁ

www.tezaurliturgic.ro

δὲ οὐκ οἶδεν ὅτι γηγενεῖς παρ᾽ αὐτῇ ὄλλυνται, καὶ ἐπὶ πέταυρον ᾅδου συναντᾷ. Ἀλλὰ ἀποπήδησον, μὴ χρονίσῃς ἐν τῷ τόπῳ, μηδὲ ἐπιστήσῃς τὸ σὸν ὄνομα πρὸς αὐτήν· οὕτως γὰρ διαβήσῃ ὕδωρ ἀλλότριον καὶ ὑπερβήσῃ ποταμὸν ἀλλότριον· ἀπὸ δὲ ὕδατος ἀλλοτρίου ἀπόσχου καὶ ἀπὸ πηγῆς ἀλλοτρίας μὴ πίῃς, ἵνα πολὺν ζήσῃς χρόνον, προστεθῇ δέ σοι ἔτη ζωῆς.

Παροιμιῶν τὸ Ἀνάγνωσμα. (Κεφ. δ΄ 1-13).

Ἀκούσατε, παῖδες, παιδείαν πατρὸς καὶ προσέχετε γνῶναι ἔννοιαν· δῶρον γὰρ ἀγαθὸν δωροῦμαι ὑμῖν, τὸν ἐμὸν νόμον μὴ ἐγκαταλίπητε. Υἱὸς γὰρ ἐγενόμην κἀγὼ πατρὶ ὑπήκοος καὶ ἀγαπώμενος ἐν προσώπῳ μητρός, οἳ ἐδίδασκόν με καὶ ἔλεγον· ἐρειδέτω ὁ ἡμέτερος λόγος εἰς σὴν καρδίαν· φύλασσε ἐντολάς, μὴ ἐπιλάθῃ μηδὲ παρίδῃς ῥῆσιν ἐμοῦ στόματος, μηδὲ ἐγκαταλίπῃς αὐτὴν καὶ ἀνθέξεταί σου· ἐράσθητι αὐτῆς καὶ τηρήσει σε· περιχαράκωσον αὐτήν, καὶ ὑψώσει σε· τίμησον αὐτήν, ἵνα σε περιλάβῃ, ἵνα δῷ τῇ σῇ κεφαλῇ στέφανον χαρίτων, στεφάνῳ δὲ τρυφῆς ὑπερασπίσῃ σου. Ἄκουε, υἱέ, καὶ δέξαι ἐμοὺς λόγους καὶ πληθυνθήσεται ἔτη ζωῆς σου, ἵνα σοι γένωνται πολλαὶ ὁδοὶ βίου· ὁδοὺς γὰρ σοφίας διδάσκω σε, ἐμβιβάζω δέ σε τροχιαῖς ὀρθαῖς. Ἐὰν γὰρ πορεύῃ, οὐ συγκλεισθήσεταί σου τὰ διαβήματα, ἐὰν δὲ τρέχῃς, οὐ κοπιάσεις. Ἐπιλαβοῦ ἐμῆς παιδείας, μὴ ἀφῇς, ἀλλὰ φύλαξον αὐτὴν σεαυτῷ εἰς ζωήν σου.

www.tezaurliturgic.ro

# Εἰς τὴν λιτὴν

Ἰδιόμελα
Ἦχος α΄.

Εὐφραίνου ἐν Κυρίῳ ἡ τοῦ Ἀδραμυτινοῦ κόλπου ὡραία νύμφη, φυτὸν εὐθαλέστατον βλαστήσασα, Εὐβούλην τὴν ἀξιάγαστον· αὕτη γὰρ εὐσεβείας τὸ κράτος ἐμεγάλυνε, καὶ χριστωνύμων δῆμον ἐλάμπρυνε, τῇ ἀκραιφνεῖ καὶ φιλοθέῳ πολιτείᾳ· ἁρπαγεῖσα οὖν προώρως, ἵνα μὴ κακίᾳ ἀλλάξῃ αὐτῆς σύνεσιν, Κυρίῳ πρεσβεύει σὺν τῷ αὐτῆς τέκνῳ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β΄.

Στομωθεῖσα τῇ ἀγάπῃ τοῦ γλυκυτάτου σου Ἰησοῦ, Αὐτοῦ τοῖς ἴχνεσιν ἠκολούθησας, Εὐβούλη πανένδοξε· ἀρεταῖς γὰρ φαιδρυνομένη ἰσαγγέλως ἐβίωσας, καὶ τὴν ἀλήθειαν ἐπιμελῶς τῷ σῷ υἱῷ ἐδίδαξας· ἀξιωθεῖσα οὖν μήτηρ ἀθλητοῦ γενέσθαι πάνυ ἀλκίφρονος, σὺν αὐτῷ Χριστὸν δυσώπει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος γ΄.

Τὴν ἐν ἤθεσιν ἀπλάστοις κοσμήσασαν τὴν Ἐκκλησίαν, Εὐβούλην, μητέρων πανευλαβῶν τὸ ἀγαλλίαμα, οἱ πιστοὶ ἀξιοχρέως μακαρίσωμεν· αὕτη γὰρ τὸ κάλλος τῆς τῶν ψυχῶν εὐπρεπείας ὑποδεικνύουσα, τῶν εἰδώλων πλάνης τὰς ῥίζας ἀπέταμε δρεπάνῃ τῆς

www.tezaurliturgic.ro

πίστεως, καὶ εἰς λειμῶνα εὐσεβείας τὸν αὐτῆς υἱὸν εἰσήγαγε· μετ᾽ αὐτοῦ οὖν εὐφραινομένη ἐν πόλῳ, Χριστὸν ἱκετεύει ἀξιῶσαι καὶ ἡμᾶς ἀπολαῦσαι, τῆς μυστικῆς τοῦ Παραδείσου εὐωδίας καὶ χάριτος.

Ἦχος δ΄.

Θεοπρεπῶς σήμερον ἀδελφοὶ πανηγυρίσωμεν, τῆς ἀθλητομήτορος Εὐβούλης, τὴν πάντιμον καὶ ἀεισέβαστον μνήμην· αὕτη γὰρ τὴν λαμπάδα τῆς ἀληθοῦς πίστεως ἄσβεστον κατέχουσα, τῆς εἰδώλων πλάνης σκοτομίνην εὐθαρσῶς ἐσκέδασεν· ἡσύχως οὖν τελέσασα τὸν βίον, Χριστῷ τῷ ποθεινῷ ἠξιώθη συνεῖναι, καὶ γενέσθαι ἡμῶν θερμὴ πρὸς Αὐτὸν πρέσβειρα.

Δόξα. Ὁ αὐτός.

Τὰς βουλὰς ἰχνηλατοῦσα τοῦ Κυρίου, καὶ τὸν σταυρὸν Αὐτοῦ αἴρουσα ἐπ᾽ ὤμων, τὸν τῆς συζυγίας δίαυλον θεαρέστως διέβης, Εὐβούλη πάνσεμνε, καὶ τῷ σῷ υἱῷ τὰ καλὰ καὶ συμφέροντα τῆς ψυχῆς ἐδίδαξας· τὸ τῆς πίστεως ὅθεν ὑπερυψώσασα τρόπαιον, μετ᾽ ἀγγέλων συγχορεύεις ἐν τῇ ἄνω κληρουχίᾳ, καὶ σὺν τῷ υἱῷ σου Παντελεήμονι πρεσβεύεις, ἐλεηθῆναι τὰς ψυχὰς τῶν τιμώντων σε ἐν ᾄσμασι.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε...
Εἰς τὸν Στίχον. Στιχηρὰ Προσόμοια.

www.tezaurliturgic.ro

Ἦχος πλ. α΄. Χαίροις, ἀσκητικῶν.

Χαίροις, ἀθλητομῆτορ σεμνή, Παντελεήμονος, κλεινοῦ καλλιμάρτυρος, κειμήλιον εὐσεβείας, μητέρων ἡ καλλονή, χριστεπωνύμων πάντων, καὶ πανάσπιλε, ἀμνὰς τοῦ Παντοκράτορος, καὶ Δεσπότου τῆς κτίσεως, σεπτὴ Εὐβούλη, τῶν εἰδώλων τὴν δύναμιν, ἡ συντρίψασα, τοῖς πανσόφοις σου ῥήμασιν· ὅθεν τὴν θείαν μνήμην σου, τιμῶντες γηθόμενοι, νῦν ὡς εὐκλείας ἀῤῥήτου, σὲ κοινωνὸς ἀναμέλπομεν, καὶ ἔνθερμον κόσμου, πρὸς Χριστὸν τὸν Ζωοδότην, καὶ Κτίστην πρέσβειρα.

Στίχος. Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Χαίροις, τὸν οἶκον ἡ τῆς ψυχῆς, Παντελεήμονος, σοῦ τέκνου, ἐρείσασα, Εὐβούλη πευματοφόρε, ἐπὶ τὴν πέτραν Χριστόν, ὥσπερ οἰκοδόμος, θεοφώτιστος, ὃν ἄγριοι ἄνεμοι, ἐδαφίσαι οὐ δύνανται, οὔτε ποιῆσαι, αὐτὸν τρέμειν γῆς σείσματα, γῦναι ἔχουσα, ἀνδρικὸν ὄντως φρόνημα· σὺ γὰρ διαπεράσασα, τοῦ βίου τὸ πέλαγος, καλῶς εἰς ὅρμον ἀγήρω, ζωῆς καὶ ἀγαλλιάσεως, ἀτέρμονος, μῆτερ, προσωρμίσθης, ἔνθα χαίρεις, ἀεὶ καὶ γάνυσαι.

Στίχος. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.

Χαίροις, ἡ τῶν ἀγγέλων ζωήν, ὑπὸ τὸ ἄχθος συζυγίας ζηλώσασα, καὶ ἄκρᾳ χρηστοηθείᾳ, καὶ ἀγαπή-

www.tezaurliturgic.ro

σει Θεοῦ, σεαυτήν, Εὐβούλη, ὡραΐσασα· λαμπὰς γὰρ ὡς πάμφωτος, τὴν σὴν φλόγα μετέδωκας, τῷ σῷ ἀνδρείῳ, τέκνῳ, Παντελεήμονι, τῷ φωτίσαντι, εὐψυχίᾳ τὰ σύμπαντα· σβέσον οὖν νῦν βοῶμέν σοι, παθῶν τὴν σκοτόμαιναν, τῶν ἐκτελούντων ἐν πίστει, τὴν πανακήρατον μνήμην σου, αὐγαῖς πρεσβειῶν σου, πρὸς τὸν Κύριον τῆς δόξης, τὸν πανευΐλατον.

Δόξα. Ἦχος πλ. δ΄.

Δεῦτε, λαοί, Νικομηδείας τὴν ἀμνάδα, καὶ καλλίτεκνον μητέρα τοῦ μάρτυρος Παντελεήμονος, ὑμνήσωμεν, Εὐβούλην τὴν ἀοίδιμον· αὕτη γὰρ τῷ τῆς ψυχῆς κάλλει κεκοσμημένη, κατηύγασεν ὥσπερ ἀστὴρ τηλαυγέστατος εὐσεβείας τὰ σύμπαντα, καὶ τὴν Ἐκκλησίαν Χριστοῦ ἐκράτυνε· νῦν οὖν ἀμπεχομένη ἀφθαρσίας ἐσθῆτα, στεφανηφόρος παρίσταται τῷ Φωτοδότῃ Κυρίῳ, τῷ φωτίζοντι καὶ ἁγιάζοντι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα, πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Νῦν ἀπολύεις... τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

www.tezaurliturgic.ro

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Καλλιμάρτυρος, δεῦτε, ἀθλητομήτορα, Παντελεήμονος, πάντες, μελισταγέσιν ᾠδαῖς, καταστέψωμεν, Εὐβούλην τὴν ἀοίδιμον, κράζοντες· γάλακτι εὐχῶν, τῶν σεπτῶν σου πρὸς Χριστόν, καὶ Κτίστην τῆς οἰκουμένης, ἡμᾶς λιμώττοντας θρέψον, ἵνα ἐκθύμως σε γεραίρωμεν.

Θεοτοκίον.

Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος....

Ἀπόλυσις.



www.tezaurliturgic.ro

# Ἐν τῷ Ὄρθρῳ

Μετὰ τὸν Ἑξάψαλμον τὸ Ἀπολυτίκιον, ὡς ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ δὲ τὴν α΄ Στιχολογίαν Κάθισμα.

Ἦχος α΄. Τὸν Τάφον σου Σωτήρ.

Εὐβούλη ἀγλαή, εὐθαλέστατον ἄνθος, τῆς πίστεως Χριστοῦ, μυστικῇ εὐωδίᾳ, ἠθῶν τῶν ἀμέμπτων σου, καὶ σεμνῆς πολιτείας σου, πάντας ἥδυνας, τοὺς ὡς μητέρα ἁγίαν, ἀνυμνοῦντάς σε, Παντελεήμονος ὄντως, ἀλκίφρονος μάρτυρος.

Δόξα.

Εὐβούλη ἀγλαή, εὐθαλέστατον ἄνθος, τῆς πίστεως Χριστοῦ, μυστικῇ εὐωδίᾳ, ἠθῶν τῶν ἀμέμπτων σου, καὶ σεμνῆς πολιτείας σου, πάντας ἥδυνας, τοὺς ὡς μητέρα ἁγίαν, ἀνυμνοῦντάς σε, Παντελεήμονος ὄντως, ἀλκίφρονος μάρτυρος.

Καὶ νῦν. Θεοτοκίον.

Καρδίαν μου, ἁγνή, τὴν χρανθεῖσαν κακίᾳ, ἐκκάθαρον ῥοαῖς, τοῦ ἀπείρου ἐλέους, καὶ ῥῦσαι τὸν δοῦλόν σου, τυραννίδος τοῦ ὄφεως, ἵνα μέλπω σε, εἰς τοὺς αἰῶνας αἰώνων, Μητροπάρθενε, εὐλογημένη Μαρία, δαιμόνων κατάπτωσις.

www.tezaurliturgic.ro

Μετὰ τὴν β΄ Στιχολογίαν Κάθισμα.
Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Τὴν τρίβον προκρίνασα, τῶν ἐντολῶν τοῦ Θεοῦ, κατηύθυνας ἄριστα, πρὸς σωτηρίους νομάς, Εὐβούλη, τὸν τόκον σου, τὸν καταξιωθέντα, δήμοις ἀριθμηθῆναι, πανευκλεῶν μαρτύρων, καὶ κλεινῶν ἀναργύρων, μεθ' οὗ συγχαίρεις νῦν ἐν σκηναῖς, ἀϊδιότητος.

Δόξα. Τὸ αὐτό.

Καὶ νῦν. Θεοτοκίον.

Πρὸς δόξαν οὐράνιον, καὶ ἀφθαρσίας πηγάς, σοὺς δούλους κατεύθυνον, Θεοκυῆτορ Δέσποινα, τοὺς ὡς πηγὴν χαρίτων, εὐλαβῶς σε ὑμνοῦντας, καὶ θαυμασίων ξένων, πολυχεύμονα κρήνην, τὴν βρύουσαν χαρᾶς δαψιλῶς, ἅπασι νάματα.

Μετὰ τὸν Πολυέλεον Κάθισμα.

Ἦχος γ΄. Τὴν ὡραιότητα.

Τὴν ὡραιότητα τοῦ Παντοκράτορος, Χριστοῦ ἠγάπησας καὶ τὰ φθειρόμενα, κάλλη μισήσασα σοφῶς ἐδίδαξας τὸν υἱόν σου, ἀθλητὴν τὸν πάγκαλον, θεῖον Παντελεήμονα, ἀγαπᾶν τὸν Κύριον ὑπὲρ πάντα τὰ γήϊνα· διό σε νῦν τιμῶντες βοῶμεν· Χαίροις, Εὐβούλη θεόσοφε.

www.tezaurliturgic.ro

Δόξα.

Τὴν ὡραιότητα τοῦ Παντοκράτορος, Χριστοῦ ἠγάπησας καὶ τὰ φθειρόμενα, κάλλη μισήσασα σοφῶς ἐδίδαξας τὸν υἱόν σου, ἀθλητὴν τὸν πάγκαλον, θεῖον Παντελεήμονα, ἀγαπᾶν τὸν Κύριον ὑπὲρ πάντα τὰ γήϊνα· διό σε νῦν τιμῶντες βοῶμεν· Χαίροις, Εὐβούλη θεόσοφε.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν σκοτισθεῖσάν μου ψυχὴν καταύγασον, φωτὶ τῆς χάριτος τοῦ θείου Τόκου σου, ἁγνὴ Παρθένε, Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων, καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου, ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως, καὶ πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

Τὸ α´ Ἀντίφωνον τοῦ δ´ ἤχου καὶ τὸ Προκείμενον.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Στίχος. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.

Εὐαγγέλιον κατὰ Μᾶρκον (Κεφ. η´ 34- θ´ 1) Ζήτει τῇ Κυριακῇ μετὰ τὴν Ὕψωσιν τοῦ Σταυροῦ καὶ ὁ Ν´ Ψαλμός.

Δόξα.

Ταῖς τῆς σῆς Ὁσίας πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

www.tezaurliturgic.ro

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Στίχος. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Τῶν ἀρετῶν εὐπραγίᾳ κεκοσμημένη, ἐναρέτου πολιτείας ὑπέδειξας τρίβους, τῷ θεοφιλεῖ σου υἱῷ, μεγαλομάρτυρι Παντελεήμονι· τὴν πίστιν οὖν τηρήσασα, καὶ καλῶς τὸν βίον τελέσασα, κληρονόμος γέγονας τῆς οὐρανῶν βασιλείας, εἰς ἣν πρεσβεύεις εἰσελθεῖν καὶ τοὺς τιμῶντάς σε.

Εἶτα ὁ Κανὼν τῆς Ἁγίας, οὗ ἡ ἀκροστιχίς·
«ΑΘΛΗΤΟΜΗΤΟΡΙ ΕΥΒΟΥΛῌ, ΕΓΚΩΜΙΟΝ ᾌΔΩ. Χ. Μ.»

Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

ᾌσμάτων τοῖς ἄνθεσιν, ἀθλητομήτορα στέψωμεν, Εὐβούλην, τὴν ἔνθεον, ἀξιοχρέως, πιστοί, τὴν ἐκθρέψασαν, Χριστοῦ ἐν νουθεσίᾳ, μαρτύρων τὸ καύχημα, Παντελεήμονα.

Θεός, Ὃν ἠγάπησας, ἐξ ὅλης, Μῆτερ, καρδίας σου, Εὐβούλη, σοί, πάνσεμνε, ἐνεπιστεύθη υἱόν, ἵνα πί-

www.tezaurliturgic.ro

στεως, σὴν μεταδοίης φλόγα, αὐτῷ τὴν φλογίζουσαν, στήθη τὰ θειά σου.

Λειμὼν ἁγιότητος, Εὐβούλη, πέλουσα ἤνθησας, τὸν Παντελεήμονα, ῥόδον Χριστοῦ εὐανθές, τὴν ὑφήλιον, αὐτοῦ τοῦ μαρτυρίου, ὀδμαῖς καὶ ἰάσεων, καταμυρίσαντα.

Θεοτοκίον.

Ἡγίασεν Ὕψιστος, τὴν σὴν νηδύν, Μητροπάρθενε, Χριστὸς ὁ Θεάνθρωπος, σκηνώσας μόνος ἐν σοί, ὑπὲρ ἔννοιαν καὶ φύσιν, Θεοτόκε· διὸ πάντες μέροπες, σὲ μεγαλύνομεν.

Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.

Τὴν πάγκαλον ἅπαντες Εὐβούλην, μητέρα τοῦ θείου ἀθλητοῦ, κλεινοῦ Παντελεήμονος, οἱ γηγενεῖς τιμήσωμεν, ὡς φοίνικα ὑψίκομον, καρπὸν μελίῤῥυτον φέροντα.

Ὁδὸν ὑποδείξασα εὐθεῖαν, τῆς πίστεως τόκῳ σου σεπτῷ, καὶ γάλακτι ἐκθρέψασα, αὐτὸν ζωῆς τῆς κρείττονος, ποθεῖν αὐτὸν ὑπέδειξας, Εὐβούλη, πάντα τὰ ἄῤῥευστα.

Μητέρων ἀκρότης χριστοφόρων, Εὐβούλη, βλεφάροις νυσταγμόν, τοῖς θείοις σου οὐκ ἔδωκας, ἄχρι τῆς σῆς κοιμήσεως, ἀπαύστως κοπιάζουσα, ὑπὲρ παιδείας τοῦ τέκνου σου.

www.tezaurliturgic.ro

Θεοτοκίον.

Ἡ μήτηρ τοῦ πάντων Βασιλέως, Εὐβούλης λιταῖς τῆς εὐκλεοῦς, μητρὸς Παντελεήμονος, τοῦ ἀθλητοῦ, ἀξίωσον, ἡμᾶς συνεῖναι Τόκῳ σου, ἀεὶ ἐν πόλῳ τῷ θείῳ σου.

Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.

Διανύσασα τῆς συζυγίας, τρίβον, πάντιμε, μεστὴν τριβόλων, καὶ τῇ πίστει σοῦ συζύγου μὴ στέρξασα, ἐν νουθεσίᾳ Κυρίου ἀνέθρεψας, τὸν σὸν υἱόν, ἀθλητὴν Παντολέοντα, θείᾳ χάριτι τὸν εἶτα δειχθέντα πίστεως, κρηπίδωμα, Εὐβούλη, ἀδιάσειστον.

Δόξα.

Διανύσασα τῆς συζυγίας, τρίβον, πάντιμε, μεστὴν τριβόλων, καὶ τῇ πίστει σοῦ συζύγου μὴ στέρξασα, ἐν νουθεσίᾳ Κυρίου ἀνέθρεψας, τὸν σὸν υἱόν, ἀθλητὴν Παντολέοντα, θείᾳ χάριτι τὸν εἶτα δειχθέντα πίστεως, κρηπίδωμα, Εὐβούλη, ἀδιάσειστον.

Καὶ νῦν. Θεοτοκίον.

Ὡς Παράδεισος, Παρθενομῆτορ, θεοδόξαστε, σὲ ἀνυμνοῦντες, νοητὸν τὸ τῆς ζωῆς ξύλον ἔχοντα, τὸν Λυτρωτὴν τῶν ἁπάντων ἐν μέσῳ σου, καθικετεύομεν τοὺς παραβάσεσι, καταξίωσον χαρᾶς Παραδείσου, Δέσποινα, τρυφῆσαι νεκρωθέντας, οἴμοι, δούλους σου.

www.tezaurliturgic.ro

Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.

Τὴν ἀπαύστως νουθετοῦσαν, ἐν Χριστοῦ τοῖς προστάγμασι, πάνσοφον Εὐβούλην, τόκον τὸν αὐτῆς ἀξιάγαστον, Παντελεήμονα θεῖον, εὐφημήσωμεν, ἀνακράζοντες· χαίροις, μητέρων ὑπόδειγμα.

Οὐρανόφωτε λυχνία, ἡ φωτίσασα πέρατα, τῆς Νικομηδείας, σοῦ χρηστοηθείας πυρσεύμασιν, ἄστρον, Εὐβούλη, φωτόλαμπρον ἀνέδειξας, γενναιότητος, σὸν τέκνον, Παντελεήμονα.

Ῥῶσιν δαψιλῶς ἐξ ὕψους, εὐσεβέσι παρέχοντος, μήτηρ γλυκυτάτη, ἰαματικοῦ καλλιμάρτυρος, Παντελεήμονος, πέλουσα ἐκδίωξον, τὴν ἀσθένειαν, ἡμῶν, Εὐβούλη πανεύφημε.

Θεοτοκίον.

Ἴδε κόπους οὐρανόθεν, εὐσυμπάθητε Δέσποινα, σὲ τῶν ἀνυμνούντων, καὶ τῶν ἁμαρτάδων ἀπέλασον, ἡμῶν ὁμίχλην, ἡ μόνη κόσμῳ τέξασα, τὸν Παντάνακτα, καὶ φωτοπάροχον Κύριον.

Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Εὐβούλη θεόσοφε, Νικομηδείας καύχημα, καὶ σεπτὸν ὡράϊσμα μητέρων, ὥσπερ ἀγάπης, στηλογραφίαν Χριστοῦ, τιμῶντές σε πάντες οἱ πιστοί, τὴν ἁγίαν μνήμην σου, ἐκτελοῦμεν γηθόμενοι.

www.tezaurliturgic.ro

Ὑπὲρ Κτίστου μάχεσθαι, καὶ λάτρεις ἀποστρέφεσθαι, τῶν εἰδώλων, ἔπιθες, Εὐβούλη, τὸν ἀθλοφόρον, υἱόν σου, οὗ ἀπλανής, ὑπῆρξες τῷ ὄντι ποδηγός, πρὸς ζωὴν ἀμείνονα, καὶ ἀγάπην ἀθόλωτον.

Βαθμίδας ἀνέρχεσθαι, τῆς ἀρετῆς ἐδίδασκες, πάντοτε, Εὐβούλη, τὸν υἱόν σου, οὗ μαρτυρίου, τὸν πόθον ὁ πολιός, Ἑρμόλαος εἶτα ὁ σοφός, ἧναψε καὶ κόσμημα, Ἐκκλησίας ἀνέδειξεν.

Θεοτοκίον.

Ὀμβρίζεις ἑκάστοτε, σῆς εὐσπλαγχνίας νάματα, Μῆτερ, τοῖς προστρέχουσιν ἐν πίστει, τῇ χάριτί σου, οἷα νεφέλη ζωῆς, ἀλήκτου, Παρθένε ἀγλαή, ἡ ἀεὶ δροσίζουσα, εὐσεβῶν τὰ συστήματα.

ᾨδὴ στ΄. Τὴν θείαν ταύτην.

Ὑμνοῦντες μνήμην τὴν θείαν σου, Εὐβούλη, ῥίζα πάντιμε πίστεως, Παντελεήμονος, τοῦ ἀθλοφόρου, αἰτούμεθα, τὰς πρὸς τὸν Ζωοδότην, θερμὰς πρεσβείας σου.

Λαμπὰς ἐνθέου μητρότητος, Εὐβούλη, σὸν υἱὸν γαλουχήσασα, φωτὶ τῆς πίστεως, αὐτὸν ἀνδρείας κατέδειξας, τοῦ Παρακλήτου σθένει, ἀστέρα πάμφωτον.

Ηὐφράνθη δῆμος χριστώνυμος, Εὐβούλη, τῇ ἀθλήσει τοῦ τόκου σου, Παντελεήμονος, τοῦ ἀναργύρως παρέχοντος, τοῖς ἀλγεινῶς νοσοῦσι, ταχὺ ἰάματα.

www.tezaurliturgic.ro

Θεοτοκίον.

Ἐλέους φρέαρ ἀκένωτον, Παρθένε, τοὺς οἰκέτας σου οἴκτειρον, καὶ ῥῦσαι θλίψεων, τοὺς σοὶ ἀεὶ καταφεύγοντας, ῥανίσι σῶν ἀόκνων, εὐχῶν πρὸς Κύριον.

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Ἀθλητομήτορα κλεινὴν καὶ ὑποτύπωσιν, σεπτῶν μητέρων ἀρεταῖς τὴν διαλάμψασαν, ἐπαινέσωμεν, Εὐβούλην τὴν θεοφόρον, ῥίζαν ἔνθεον τερπνοῦ Παντελεήμονος, ἴον πίστεως καὶ κρίνου γενναιότητος, ἀνακράζοντες· Χαίροις, Μῆτερ θεόφιλε.

Ὁ Οἶκος.

Ἄυλον πολιτείαν, μετελθοῦσα, Εὐβούλη, ἀγγέλων ἰσοστάσιος ὤφθης· ἐκτακεῖσα γὰρ ὥσπερ κηρός, εἰς παιδαγωγίαν ἐν Χριστῷ τέκνου σου, κλεινοῦ Παντελεήμονος, διήγειρας πιστοὺς βοᾶν σοι·

Χαῖρε, τὸ κλέος Νικομηδείας·
Χαῖρε, τὸ κῦδος τῆς Ἐκκλησίας.

Χαῖρε ἀρετῆς ψυχοτρόφου ἀρχέτυπον·
Χαῖρε, ἀγωγῆς θεαρέστου κιννάμωμον.

Χαῖρε, ῥόδον εὐωδέστατον ἀγαπήσεως Χριστοῦ·
Χαῖρε, λίκνον πολυτίμητον νουθεσίας σοῦ υἱοῦ.

www.tezaurliturgic.ro

Χαῖρε, ἀθλητομῆτορ καλλιμάρτυρος θεία·
Χαῖρε, θερμὴ ἀκέστορ τῶν πιστῶν καὶ ταχεῖα.

Χαῖρε, ἀστὴρ φρονήσεως πάμφωτος·
Χαῖρε, λαμπτὴρ συνέσεως ἔκλαμπρος.

Χαῖρε, μητέρων ἐνθέων φαιδρότης·
Χαῖρε, ἐγγάμων γυναίων σεμνότης.
Χαίροις, Μῆτερ θεόφιλε.

Καὶ ἀναγινώσκεται τὸ Μηνολόγιον τῆς ἡμέρας, ἤτοι τῆς Λ΄ Μαρτίου. Εἶτα λέγομεν·

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ὁσίας μητρὸς ἡμῶν Εὐβούλης, μητρὸς κατὰ σάρκα τοῦ ἐνδόξου μεγαλομάρτυρος καὶ ἰαματικοῦ Παντελεήμονος.

Στίχοι·

Χριστοῦ παιδαγωγίας βάθρον, Εὐβούλη,
Χριστῷ προσήνεγκας δῶρον τὸν υἱόν σου.

Συναξάριον.

Ἡ ἔνδοξος καὶ θεοφιλὴς μήτηρ τοῦ μεγαλομάρτυρος Παντελεήμονος ἔλαμψεν ὡς ἀστὴρ ἀρετῶν καὶ ὀρθῆς κατὰ Χριστὸν διαπαιδαγωγήσεως τοῦ υἱοῦ αὐτῆς ἐν Νικομηδείᾳ. Σύζυγος οὖσα τοῦ τὰ εἴδωλα σέβοντος Εὐστοργίου παρέμεινεν ἀκλινὴς τῇ τοῦ Χριστοῦ πίστει, ἣν καὶ τὸν υἱὸν αὐτῆς ἐδίδαξεν. Προώρως ἁρπαγεῖσα πρὸς δόμους οὐρανίους, ἵνα τῷ Χριστῷ ἀεὶ συνευφραίνηται, ἠξιώθη ὑποδέξα-

www.tezaurliturgic.ro

σθαι μεγαλομάρτυρα τὸν υἱὸν αὐτῆς ἐν πόλῳ δόξης. Μετ᾽ αὐτοῦ ἀπαύστως πρεσβεύει τῷ εὐϊλάτῳ Κυρίῳ ὑπὲρ εἰρήνης καὶ ἄμφω ὑγιείας τοῦ σύμπαντος κόσμου.

Ταῖς αὐτῆς ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς· Ἀμήν.

Ὠδὴ ζ´. Οὐκ ἐλάτρευσαν.

Γόνον πάντιμον, τὸν σόν, Παντελεήμονα, ἐν πέτρᾳ πίστεως, ὡς οἰκοδόμος σοφός, Εὐβούλη, ἐστήριξας, ἵνα οἱ ἄνεμοι, μὴ πειρά, αὐτὸν τοῦ βίου ἅπαντες, οἱ δριμεῖς καὶ θυελλώδεις.

Κατ᾽ ἀξίαν σου, τὴν μνήμην καταστέφομεν, Εὐβούλη, ᾄσμασιν, ἀθλητομῆτορ σεμνή, Χριστοῦ τῷ θελήματι, τὴν νουθετήσασαν, τὸν ἐν μάρτυσι, κλεινὸν Παντελεήμονα, ἰατῆρα τῶν νοσούντων.

Ὡραΐσασα, ψυχὴν υἱοῦ ἀνδρείου σου, Παντελεήμονος, τοῦ εὐκλεοῦς ἀθλητοῦ, Εὐβούλη, τοῖς λόγοις σου, καὶ παραδείγματι, πολιτείας σου, ἐνθέου διεκόσμησας, τοῦ Χριστοῦ τὴν Ἐκκλησίαν.

Θεοτοκίον.

Μητροπάρθενε, ψυχῆς ἐμῆς ἀγλάϊσμα, καὶ κόσμου στήριγμα, δείκτης γενοῦ ἀπλανής, ὁδοῦ τῆς ἀγούσης με, πρὸς μεταμέλειαν, ἁμαρτάδων μου, ἀπείρων τὴν ἐπίγνωσιν, καὶ κοπὴν θελήματός μου.

www.tezaurliturgic.ro

Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.

Ἴον μυροβόλον σωφροσύνης, μητέρων θεοεικέλων κρίνον εὔοσμον, καὶ παιδαγωγήσεως, ἐν Χριστῷ κιννάμωμον, βουλῇ τοῦ Παντοκράτορος, προώρως τόκον σου, κατέλιπες Αὐτοῦ τῇ προνοίᾳ, πρὸς σκηνὰς ἀφθίτους, Εὐβούλη, μεταστᾶσα.

Ὁ χορὸς πιστῶν Νικομηδείας, Εὐβούλη, σὴν ἀγαθότητα θεώμενος, καὶ τὴν σὴν ἐνάρετον, βιοτὴν ἐκραύγαζε· τῆς μόνης Θεομήτορος, ὑπάρχεις ἔσοπτρον, ἀγγέλων ἰσοστάσιε ὄντως, καὶ πασῶν μητέρων, θεοφιλῶν πυξίον.

Νέκταρι ποτίσασα, Εὐβούλη, ἡμῶν τῆς Χριστοῦ ἀμώμου πίστεως, τὸν Παντελεήμονα, τόκον τὸν ὡραῖόν σου, καὶ γάλακτι ἐκθρέψασα, αὐτὸν χρηστότητος, ἡρπάγης, ἵνα μὴ ἡ κακία, κόσμου μεταβάλοι, τὴν θείαν σύνεσίν σου.

Θεοτοκίον.

Ἅγνισον ἡμῶν τὰς διανοίας, καὶ ῥύπου τῆς ἁμαρτίας ἀποκάθαρον, σώματα τῶν δούλων σου, τῶν καταφευγόντων σοι, καὶ ἐκζητούντων χάριν σου, τὴν θείαν, Δέσποινα, ἁγνείας διαυγέστατον σκεῦος, στήλη παρθενίας, καὶ σωφροσύνης κέρας.

Ὠδὴ θ΄. Ἅπας γηγενής.

Δρόσον θεϊκήν, ὑψόθεν ἐπόμβρισον, τοῖς ἀνυμνοῦσί

www.tezaurliturgic.ro

σε, καὶ τὴν θείαν μνήμην σου, ἐπιτελοῦσι, λαμπροῖς ἐν ᾄσμασιν, ἀθλητομῆτορ ἔνδοξε, Εὐβούλη πάνσεμνε, ἵνα πάντες, δόξαν ἀναπέμπωμεν, ἀφθαρσίας τῷ γέρα σοι νείμαντι.

Ὥσπερ πρὸς Θεόν, μεσίτριαν ἔνθερμον, ἡμεῖς προβάλλομεν, σέ, θεοχαρίτωτε, Εὐβούλη, μῆτερ, Παντελεήμονος, τοῦ κραταιοῦ, καὶ μνήμην σου, τὴν θείαν ἄγοντες, ἐκβοῶμεν· τὰ ἡμῶν προσάγαγε, εὐμενῶς πρὸς τὸν Κτίστην αἰτήματα.

Χαῖρε, ἀθλητοῦ, Εὐβούλη, ἀλκίφρονος, ῥίζα ἡ ἔνθεος, οἱ πιστοὶ κραυγάζοντες, ἀναβοῶμεν· τῶν σῶν ἐντεύξεων, δρεπάνῃ ῥιζοτόμησον, τὰ ἀνομήματα, τῶν σπευδόντων, χάριτι τῇ θείᾳ σου, καὶ ἡμῖν ἀκακίαν ἐμφύτευσον.

Θεοτοκίον.

Μέμνησο ἡμῶν, τῶν ὕμνοις τιμώντων σε, Θεογεννήτρια, καὶ φαιδροῖς ἐν ᾄσμασι, τελούντων μνήμην, τῆς οὐρανόφρονος, Εὐβούλης, ἵνα πάντοτε, σὲ μεγαλύνοντες, τὸν Υἱόν σου, καὶ Σωτῆρα κτίσεως, εἰς αἰῶνας αἰώνων δοξάζωμεν.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Τὸν σὸν υἱὸν βαστάσασα, ἐν ταῖς σεπταῖς ἀγκάλαις σου, πίστεως γάλακτι θείῳ, αὐτὸν διέθρεψας, μῆτερ, Εὐβούλη, καὶ πρεσβείαις σου, ὑψόθεν κατηξίωσας, αὐτὸν ἀνῦσαι στάδιον, τοῦ μαρτυρίου γενναίως, ὑπὲρ Χριστοῦ τοῦ Σωτῆρος.

www.tezaurliturgic.ro

Θεοτοκίον.

Ἁγιωσύνης πρότυπον, Παρθένε ἀπειρόγαμε, τὴν ἐναγῆ μου καρδίαν, τῇ δαψιλῇ χάριτί σου, ἁγίασον, κραυγάζω σοι, καὶ οὐρανοπολίτην με, δεῖξον, χαρᾶς τῆς κρείττονος, ἵνα ὁ τάλας τρυφήσω, καὶ εὐφροσύνης ἀλήκτου.

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ΄
καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

Σύζυξ Εὐστοργίου πάνσεμνε, ἀψύχων λίθων τοῦ, φεῦ, λάτρου πίστιν πατρώαν σου, εἰς Χριστὸν ἐτήρησας, ἄχρι τέλους ἀνόθευτον, καὶ ὥσπερ κόνιν, τὰ φληναφήματα, αὐτοῦ δυνάμει, Θεοῦ ἐσκόρπισας, διατηρήσασα, πῦρ τῆς ἀγαπήσεως, τοῦ Ἰησοῦ, ἐν καρδίᾳ ἄσβεστον, Εὐβούλη ἔνθεε.

Μήτηρ ἀθλητοῦ στεῤῥόφρονος, τοῦ καὶ ἰαματικοῦ, θείου Παντελεήμονος, ἐν τῇ φάτνῃ πίστεως, τοῦ Χριστοῦ ἐσπαργάνωσας, αὐτόν, Εὐβούλη, τῆς εὐσεβείας σου, τῇ θείᾳ θέρμῃ, αὐτὸν ἐτύλιξας, καὶ τῷ σῷ γάλακτι, ἀρετῆς διέθρεψας, αὐτὸν μαζῶν, ἐκ τῶν σῶν, πανεύφημε, γυναίων κόσμημα.

Γνώμῃ φιλοθέῳ δίαυλον, σῆς ἐπὶ γῆς βιοτῆς, διελθοῦσα τὸν βέβηλον, ὄντως καὶ ἀρχέκακον, ἀληθῶς ἐθριάμβευσας, ἐχθρόν, Εὐβούλη, καὶ δόξης στέφανον, παρὰ Κυρίου, ἀλήκτου εἴληφας· ὅθεν τὴν

www.tezaurliturgic.ro

μνήμην σου, τὴν ἁγίαν σήμερον, χαρμονικῶς, ἐκτελοῦντες μέλπομεν, τὸν σὲ δοξάσαντα.

Ἴδε τῆς ψυχῆς τὸ ἄλγος μου, νοσούσης, οἴμοι, δεινῶς, ἀτιμίας τοῖς πάθεσι, καὶ ζωήν μου ῥύθμισον, μετανοίας ταῖς πράξεσιν, Εὐβούλη θεία, Παντελεήμονος, τοῦ ἀθλοφόρου, μῆτερ πανένδοξε, ἵνα γεραίρω σε, σὺν τῷ θείῳ τέκνῳ σου, καὶ τὰς σεπτάς, ἐκζητῶ πρεσβείας σου, πρὸς τὸν Παντάνακτα.

Δόξα. Ἦχος πλ. α΄.

Τοῦ Παρακλήτου ἡ χάρις σκηνώσασα, ἐν τῇ καθαρωτάτῃ σου ψυχῇ, ὄργανον θεοκίνητον πίστεως, καὶ μητρικῆς ἀγάπης σε ἀνέδειξεν, Εὐβούλη ἀξιάγαστε· ἀνεπιλήπτῳ γὰρ βίῳ διέλαμψας ἐν τῇ Νικομηδείᾳ, καὶ φιλοστόργως τὸν υἱόν σου Παντελεήμονα ἴθυνας, πρὸς ἀφθαρσίας σκηνώσεις δι' ἐννόμου ἀθλήσεως· κατεύθυνον οὖν καὶ ἡμᾶς τοὺς ὕμνοις τιμῶντάς σε, πρὸς ἀϊδιότητος δόμους πανευφροσύνους, δεόμεθα, ταῖς σαῖς ἀδιαλείπτοις δεήσεσι, πρὸς τὸν φιλάνθρωπον Κύριον.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro

## Ἐν τῇ Λειτουργίᾳ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τῆς Ἁγίας ἡ γ´ καὶ ἡ στ´ ᾠδή.

Ἀπόστολος. Ὁ τῆς ΚΖ´ Κυριακῆς.

Εὐαγγέλιον. Τὸ τοῦ Σαββάτου τῆς ΙΖ´ Ἑβδομάδος τοῦ Ματθαίου.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

Μεγαλυνάριον.

Τοῦ Παντελεήμονος τοῦ σεπτοῦ, τὴν μητέρα πάντες, ἀνυμνήσωμεν εὐλαβῶς, τὴν ἐν νουθεσίᾳ, ἐκθρέψασαν Κυρίου, αὐτόν, σεμνὴν Εὐβούλην, τὴν παναοίδιμον.

Δίστιχον.

Ἀθλητομήτορα ὕμνησεν Εὐβούλην
Χαραλάμπης, πατὴρ Παντελεήμονος.

ΤΕΛΟΣ

ΚΑΙ ΔΟΞΑ ΤΩ ΜΟΝΩ ΑΛΗΘΙΝΩ ΘΕΩ ΗΜΩΝ